αὐτοῦ ἐκ τῶν οὐρανῶν ἐπὶ τὸν Κύριον; ἐν περιστερᾶς γὰρ αὐτὸ ἐμαρτύρησας ἑωρακέναι εἴδει.

Ἀπ. — Ἄνεμοί τινες, ἔφη, χαρᾶς τὴν αὐτοῦ προελάμβανον ἄφραστον παρουσίαν καὶ ἡ ἐκ τῶν οὐρανῶν δὲ λοιπὸν ἀπηχηθεῖσα φωνή, ἥτις ὡσανεὶ δακτύλῳ τὸν υἱὸν ὑπεδείκνυεν ὑπὸ τοῦ πατρὸς μαρτυρούμενον, σαφῶς ὑπέδειξέ μοι τῆς περιστερᾶς ἐκείνης τὸ ἄπειρον.

ι' Ἐρ. — Ἱκανῶς. Ἆρα δέ, ἔφην, αὐτοῦ τοῦ πατρὸς ἦν ἡ ἀπηχηθεῖσα φωνή, ἢ δυνάμεώς τινος ἐκ προσώπου τοῦ Θεοῦ κεκραγυίας;

Ἀπ. — Αὐτοῦ τοῦ πατρός, ἔφη.

ια' Ἐρ. — Καὶ πῶς, ἔφην, εἰπέ μοι, αἰσθητῇ φωνῇ εἶχε χρήσασθαι ὁ ἐν ἀσωμάτῳ ὢν καὶ ἀορατῷ φύσει;

Ἀπ. — Οὐχ ὡς δι' ὀργάνου τινὸς φωνητικοῦ τὸ θεῖον, ἔφη, φθέγγεται· ἀλλ' ὅτε θελήσει τὴν ἑαυτοῦ βούλησιν ἀκουστὴν γενέσθαι, ὡς φωνὴ ἡ βούλησις φθέγγεται τῷ ὑπὸ τῆς θείας νυττομένῳ ἐνεργείας. Διὸ οὓς μὲν θέλει ἀκοῦσαι, ἀκούουσι, κἂν ὁμοῦ που ὦσιν οἱ ἀκοῦσαι ὀφείλοντες καὶ οἱ μὴ τῆς ἀκοῆς ἐκείνης ἄξιοι ὄντες. Διόπερ εἰς ἐκεῖνον μόνον τὸν τόπον ὅπου ἐβαπτίσθη ὁ Κύριος ἠκούσθη ἡ φωνή· εἰ δὲ μὴ τοῦτο ἦν, πᾶς ἂν ὁ κόσμος ᾔσθετο τῆς ἐκ τοσούτου ὕψους φωνῆς ἀπηχηθείσης, κἂν ἀγγέλου ἦν ἡ φωνή. Τοῦτο δὲ ἐκ τοῦ εὐαγγελίου μάλιστα τοῦ κατὰ τὸν θεσπέσιον Μάρκον ἔξεστι τῷ θέλοντι μανθάνειν· τῆς γὰρ ἐπὶ τοῦ ὄρους, ὅτε μετεμορφώθη ὁ Κύριος, ἐνεχθείσης φωνῆς μεμνημένος λέγει· Καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοὺς καὶ ἐγένετο φωνὴ ἐκ τῆς νεφέλης· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, αὐτοῦ ἀκούετε.